M10/2/GREEK/HP1/ENG/TZ0/XX

22102951

International Baccalaureate®
Baccalauréat International
Bachillerato Internacional

**CLASSICAL GREEK**
**HIGHER LEVEL**
**PAPER 1**

Thursday 20 May 2010 (afternoon)

1 hour 30 minutes

Candidate session number

| 0 | 0 | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|

INSTRUCTIONS TO CANDIDATES

- Write your session number in the boxes above.
- Do not open this examination paper until instructed to do so.
- Answer the question in the space provided.
- The use of dictionaries is permitted for this paper.



© International Baccalaureate Organization 2010

*Translate into English the section of the following passage indicated between the asterisks. A translation of the rest of the passage appears on the facing page.*

**1. Xenophon and his men had arrived at Trapezus in Colchis where they were well received.**

Μετὰ δὲ τοῦτο τὴν θυσίαν ἣν ηὔξαντο παρεσκευάζοντο· ἦλθον δ᾽ αὐτοῖς ἱκανοὶ βόες ἀποθῦσαι τῷ Διὶ σωτήρια καὶ τῷ Ἡρακλεῖ ἡγεμόσυνα καὶ τοῖς ἄλλοις θεοῖς ἃ ηὔξαντο.

✱ ἐποίησαν δὲ καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ὄρει ἔνθαπερ ἐσκήνουν. εἵλοντο δὲ Δρακόντιον Σπαρτιάτην, ὃς ἔφυγε παῖς ὢν οἴκοθεν, παῖδα ἄκων κατακανὼν ξυήλῃ* πατάξας, δρόμου τ᾽ ἐπιμεληθῆναι καὶ τοῦ ἀγῶνος προστατῆσαι. ἐπειδὴ δὲ ἡ θυσία ἐγένετο, τὰ δέρματα παρέδοσαν τῷ Δρακοντίῳ, καὶ ἡγεῖσθαι ἐκέλευον ὅπου τὸν δρόμον πεποιηκὼς εἴη. ὁ δὲ δείξας οὗπερ ἑστηκότες ἐτύγχανον Οὗτος ὁ λόφος, ἔφη, κάλλιστος τρέχειν ὅπου ἄν τις βούληται. Πῶς οὖν, ἔφασαν, δυνήσονται παλαίειν ἐν σκληρῷ καὶ δασεῖ οὕτως; ὁ δ᾽ εἶπε· Μᾶλλόν τι ἀνιάσεται ὁ καταπεσών. ἠγωνίζοντο δὲ παῖδες μὲν στάδιον τῶν αἰχμαλώτων οἱ πλεῖστοι, δόλιχον δὲ Κρῆτες πλείους ἢ ἑξήκοντα, πάλην δὲ καὶ πυγμὴν καὶ παγκράτιον, καὶ καλὴ θέα ἐγένετο. πολλοὶ γὰρ κατέβησαν καὶ ἅτε θεωμένων τῶν ἑταίρων πολλὴ φιλονικία ἐγίγνετο.✱

ἔθεον δὲ καὶ ἵπποι καὶ ἔδει αὐτοὺς κατὰ τοῦ πρανοῦς ἐλάσαντας ἐν τῇ θαλάττῃ ἀποστρέψαντας πάλιν πρὸς τὸν βωμὸν ἄγειν. καὶ κάτω μὲν οἱ πολλοὶ ἐκυλινδοῦντο· ἄνω δὲ πρὸς τὸ ἰσχυρῶς ὄρθιον μόγις βάδην ἐπορεύοντο οἱ ἵπποι· ἔνθα πολλὴ κραυγὴ καὶ γέλως καὶ παρακέλευσις ἐγίγνετο.

Xenophone *Anabisis* 4.8.25–28

* ξυήλῃ: Curved knife

After this they made ready the sacrifice which they had vowed; and a sufficient number of oxen had come to them so that they could pay their thank-offerings to Zeus for deliverance, to Heracles for guidance, and to the other gods according as they had vowed.

✱ . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . ✱

There were horse races also, and the rulers had to drive their horses down the steep slope, turn them round in the sea, and bring them back again to the altar. And on the way down most of the horses rolled over and over, while on the way up, against the exceedingly steep incline, they found it hard to keep on at a walk; so there was much shouting and laughter and cheering.

| | | |
|---|---|---|
| Total marks | | |
| | | |